καὶ τοῦ γένους καθ᾿ ἕκαστον ὑμᾶς ἐρωτήσω· ῥᾷστα γὰρ οὕτω μάθοιτ᾿ ἄν. Κίρωνος πότερον θυγάτηρ ἢ ἀδελφὸς ἐγγυτέρω τοῦ γένους ἐστί; Δῆλον γὰρ ὅτι θυγάτηρ· ἡ μὲν γὰρ ἐξ ἐκείνου γέγονεν, ὁ δὲ μετ᾿ ἐκείνου. Θυγατρὸς δὲ παῖδες ἢ ἀδελφός; Παῖδες δήπουθεν· γένος γάρ, ἀλλ᾿ οὐχὶ συγγένεια τοῦτ᾿ ἔστιν. Εἰ δὴ προέχομεν ἀδελφοῦ τοσοῦτον, ἦ που τοῦδέ γ᾿ ὄντος ἀδελφιδοῦ πάμπολυ πρότεροί ἐσμεν. 34 Δέδοικα δὲ μὴ λίαν ὁμολογούμενα λέγων ἐνοχλεῖν ὑμῖν δόξω· πάντες γὰρ ὑμεῖς τῶν πατρῴων, τῶν παππῴων, τῶν ἔτι περαιτέρω κληρονομεῖτε ἐκ γένους παρειληφότες τὴν ἀγχιστείαν ἀνεπίδικον, καὶ οὐκ οἶδ᾿ εἴ τινι πρὸ τοῦ πώποτε τοιοῦτος ἀγὼν συμβέβηκεν. Ἀναγνοὺς οὖν τὸν τῆς κακώσεως νόμον, ὧν ἕνεκα πάντα γίγνεται [καὶ] ταῦτα, ἤδη πειράσομαι διδάσκειν.

Νόμος

35 Κίρων γὰρ ἐκέκτητο οὐσίαν, ὦ ἄνδρες, ἀγρὸν μὲν Φλυῆσι, καὶ ταλάντου ῥᾳδίως ἄξιον, οἰκίας δ᾿ ἐν ἄστει δύο, τὴν μὲν μίαν μισθοφοροῦσαν, παρὰ τὸ ἐν Λίμναις Διονύσιον, χιλίας εὑρίσκουσαν, τὴν δ᾿ ἑτέραν ἐν ᾗ αὐτὸς ᾤκει, τριῶν καὶ δέκα μνῶν· ἔτι δὲ ἀνδράποδα μισθοφοροῦντα καὶ δύο θεραπαίνας καὶ παιδίσκην καὶ ἔπιπλα δι᾿ ὧν ᾤκει τὴν οἰκίαν, σχεδὸν σὺν τοῖς ἀνδραπόδοις ἄξια τριῶν καὶ δέκα μνῶν· σύμπαντα δὲ ὅσα φανερὰ ἦν, πλέον ἢ ἐνενήκοντα μνῶν· χωρὶς δὲ τούτων δανείσματα οὐκ ὀλίγα, ἀφ᾿ ὧν ἐκεῖνος τόκους ἐλάμβανε. 36 Τούτοις Διοκλῆς μετὰ τῆς ἀδελφῆς || πάλαι ἐπεβούλευεν, ἐπειδὴ τάχιστα οἱ Κίρωνος ἐτελεύτησαν. Ἐκείνην μὲν γὰρ οὐκ